# TEZAUR LITURGIC

## 15 MAI

APOSTOLOS PAPAHRISTOUS

# PARACLISUL SF.CUVIOS ANDREI DE LA AKARNANIA ETOLIEI

ATENA,2020

www.tezaurliturgic.ro



# 15 ΜΑΪΟΥ
# ΟΣΙΟΥ ΑΝΔΡΕΟΥ ΕΡΗΜΙΤΟΥ ΤΟΥ ΕΝ ΚΑΛΑΝΑΙΣ
# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

**Ποίημα Ἀποστόλου Παπαχρήστου**

Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Ὁ ἀναγνώστης· Κύριε, εἰσάκουσον... Ψαλμὸς ρμβ’ (142) Καὶ εὐθὺς τό, Θεὸς Κύριος... Εἶτα τὰ τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῶν μοναστῶν τὴν καλλονὴν δεῦτε πάντες, καὶ τῶν Ἀγγέλων ἰσοστάσιον πίστει, καὶ ἐν θερμοῖς τοῖς δάκρυσιν προσπέσωμεν πιστοί, κράζοντες καὶ λέγοντες, θεοφόρε Ἀνδρέα, λύτρωσαι τοὺς δούλους σου, ἐκ κακίας δαιμόνων, καὶ ὁρατῶν ἐχθρῶν καὶ πάσης ἀπειλῆς, σὺ γὰρ πέλεις πάντων ἡμῶν ἡ ἀντίληψις.

Δόξα. Πατρί. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Καλάνης οἰκήτωρ καὶ ἐν σώματι Ἄγγελος, καὶ Χαλκιοπούλου τὸ κλέος, δόξα Βάλτου καὶ καύχημα, ὑπάρχεις ὡς Ἀνδρέα ἀληθῶς, διὸ καὶ εὐφημοῦμεν σὲ πιστῶς· θεραπεύεις γὰρ νοσοῦντας καὶ πειρασμῶν λυτρούσαι τοὺς βοῶντας σοι: δόξα τῷ δεδωκότι σοι ἰσχὺν, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργούντι διά σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν. Οὐ σιωπήσομεν πότε, Θεοτόκε...

Ψαλμὸς ν’ (50).

Ὁ κανῶν, οὗ ἡ ἀκροστοιχίς· *Ἀνδρέα Πάτερ ἀεὶ πάντας σῷζε Ἀποστόλου.*

Ὠδὴ ἅ΄. Ἦχος πλ. δ΄. Ὁ εἱρμός. Ὑγρὰν διοδεύσας.

Ἀνδρέα παμμάκαρ, τῷ βασιλεῖ, τῷ μόνῳ Ἀνάρχω καὶ αἰώνων παρεστηκώς, καὶ τούτου φωτὶ τῷ τρισηλίῳ, καταλαμπόμενος πάντας μνημόνευε.

Νοσοῦντα τοῖς πάθεσι τοῖς δεινοῖς, καὶ ζόφῳ πταισμάτων, σκοτιζόμενον τῷ φωτί, τῷ σῷ φώτισον μὲ τοῦ ὑμνῆσαι τὰ σὰ Ἀνδρέα θεόφρον θαυμάσια.

Πονούμενον πάθεσι τοῖς ψυχῆς, Ἀνδρέα παμμάκαρ, καὶ τοῦ σώματος τοῖς δεινοῖς προστρέχω τῇ σκέπῃ σου κραυγάζων, τὴν σὴν γαλήνην παράσχου καὶ σῶσόν με.

Ῥανίδα ἐλέους σου Ἀγαθέ, παράσχου μοι Κόρη, τῶν ἐν πάθεσι χαλεποῖς, ἐμὲ ῥυπωθέντα καὶ ὑσσώπῳ, τὴν σὴν μὲ καθαρὸν Δέσποινα δέομαι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἑκουσίως πτωχεύσας, ὡς νουνεχὴς ὅσιε, λόγον ἐπακούσας Κυρίου, Ἀνδρέα πάνσοφε, γυναῖκα, τέκνα τε, καὶ τὴν οὐσίαν ἀφῆκας, καὶ ὁδὸν σωτήριον, χαίρων διήνυσας.

Ἀπὸ πάσης κακίας, τῶν δυσμενῶν ὅσιε, χάριτι Κυρίου Ἀνδρέα, ἔμεινας ἄτρωτος, ὅθεν δεόμεθα, τῆς κακουργίας τῆς τούτων, τὴν σὴν ποίμνην φύλαττε, πάτερ ἀλώβητον.

Πάσης βλάβης καὶ νόσων καὶ συμφορῶν Ἅγιε, ἅπαντας λυτρούσαι τοὺς πίστει προσκαλουμένους σέ, ὅθεν κεκτήμεθα, φρουρὸν σὲ πάτερ Ἀνδρέα, ἰατρὸν καὶ στήριγμα, πάντες οἱ δοῦλοι σοῦ.

Ἀκατάληπτος πέλει ἡ σὴ Ἁγνὴ γέννησις, εἰ καὶ ἑρμηνεύομεν ταύτην, ἀλλ' ἀνερμήνευτος μένει πανάμωμε, διὸ τούς σὲ Θεοτόκον, πίστει καταγγέλοντας, σῷζε πρεσβείαις σου.

Διάσωσον ἀπὸ κινδύνων σοὺς δούλους πάτερ Ἀνδρέα, ἐκ πολέμων δεινῶν καὶ νόσων καὶ θλίψεων, σὺ πέλεις γὰρ πάντων ἡ προστασία.

Ἐπιβλέψον, ἐν εὐμενεία πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Προστάτης θερμὸς καὶ σκέπη καὶ βοήθεια, ὑπάρχεις ἡμῶν Ἀνδρέα παμμακάριστε, ἐκτενῶς βοῶμεν σοι, ἐξ ἐχθρῶν παντοίων καὶ αἱρέσεων, καὶ πάσης ἄλλης ῥῦσαι συμφορᾶς, ἡμᾶς τοὺς οἰκέτας σου δεόμεθα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Φωτὶ τῶν ἀγώνων σου, φάλαγγας δαιμόνων σοφὲ διέλυσας, καὶ ἡμᾶς Ἀνδρέα φώτισον, τούτων ἐκ τῆς πλάνης ἐκλυτρούμενος.

Εὐφροσύνη πανεύφημε, πλήρωσον τοὺς πίστει σου καταφεύγοντας, ἐκ φρενῶν βλάβης λυτρούμενος, καὶ ψυχῆς τῶν νόσων τῇ σῇ χάριτι.

Ῥωμαλέῳ φρονήματι, πάθη σου Ἀνδρέα σοι ἀπενεύρωσας, ὅθεν δέομαι ἀνάστησον, ἐκ παθῶν ἀμέτρων μὲ πρεσβείαις σου.

Ἀβλαβῆ μὲ συντήρησον, πάσης περιστάσεως παναμώμητε, ἡ τὸν εὔσπλαγχνον κυήσασα, τὸν Ἁγνὴν φυλάξαντα σὲ Κύριον.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἔμπλησον χαρᾶς, ὢ Ἀνδρέα τοὺς ὑμνοῦντάς σε, καὶ τὴν ὑγείαν ταῖς δεήσεσι ταῖς σαῖς, ψυχῆς παράσχου καὶ τοῦ σώματος τοῖς δούλοις σοῦ.

Ἵλεων ἡμῖν, τὸν Θεὸν πάτερ ἀπέργασαι, τοῖς καθ’ ἑκάστην ἁμαρτάνουσιν καὶ γάρ, σὲ πρέσβυν πρὸς Αὐτὸν Ἀνδρέα ἔχομεν.

Παῦσον ἀφ’ ἡμῶν, τῶν κακῶν πληθὺν θεόληπτε, λιμόν, σεισμόν, πενίαν, θάνατον, καὶ τὰς αἱρέσεις, ταῖς πρὸς Κύριον πρεσβείαις σου

Ἄλλην ἀγαθή, προστασίαν οὐ γινώσκομεν, εἰ μὴ σὲ μόνην τὴν κυήσασαν, τὸν πάντων Κτίστην ὡς βροτόν, ὠ ἀπειρόγαμε.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ναὸς σοφέ, τοῦ Θεοῦ γεγένησαι, σεαυτὸν ἐκ τῶν παθῶν σοῦ καθαράς, τοὺς σῷ ναῷ προσιόντας ἐν

πίστει, ἀῤῥωστημάτων παρέχεις τὴν ἴασιν. Χρονίων τε καὶ χαλεπῶν, ἀνιατῶν Ἀνδρέα πάτερ ἡμῶν.

Τὰ γήϊνα σὺ λιπὼν κατῴκισας ἐν σπηλαίῳ τῆς Καλάνης Ἀνδρέα, καὶ προσευχαῖς, χαμευνίαις, νηστείαις, τὸν πολυμήχανον ὄφιν ἐπάτησας, Χριστὸν δοξάζων, ὅστις νῦν, καὶ ἀεὶ σὲ δοξάζει μακάριε.

Ἀνιατοὶ οὐκ εἶσιν ἀσθένειαι, τοῖς προσπίπτουσιν σοῖς θείοις λειψάνοις, καὶ γὰρ τυφλοῖς σοι παρέχεις τὸ βλέπειν, λαλεῖν ἀλάλοις, κωφοῖς τὸ εὐήκοον, χωλοῖς βαδίζειν καὶ παντί, ἀσθενοῦντι Ἀνδρέᾳ τὴν ἴασιν.

Συγχαίρουσιν σὲ Ἀγγέλων αἱ τάξεις, καὶ ἀνθρώπων ἅπαν γένος Παρθένε, ὅτι σαφῶς τὰ ἐπίγεια πάντα, τοῖς οὐρανίοις συνήφθη τῷ τόκῳ σου, καὶ πάντες ἐν φωνὴ μία, εἰς αἰῶνας τὸ χαῖρε σοι κράζομεν.

Διάσωσον ἀπὸ κινδύνων σοὺς δούλους πάτερ Ἀνδρέα, ἐκ πολέμων δεινῶν καὶ νόσων καὶ θλίψεων, σὺ πέλεις γὰρ πάντων ἡ προστασία.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.

Προστασία σὺ παντὸς τοῦ Βάλτου γεγένησαι, εὐφροσύνη τε Χαλκιοπούλου καὶ καύχημα, πάντων σκέπη τῶν ὀρθοδόξων καὶ καταφυγή, διὸ κράζομεν σοι ἐν κλαυθμοῖς, οἱ ἁμαρτάνοντες Θεῷ καὶ ἀεὶ παροργίζοντες, οὖσαι ἡμᾶς πταισμάτων, λύτρωσαι τῶν

κινδύνων τοὺς καταφεύγοντας πιστῶς ὦ Ἀνδρέα ἐν τῇ σκέπη σου.

Προκείμενον: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στ. *Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Εὐαγγέλιον. Ἐκ .τοῦ κατὰ Λουκᾶν. (στ’ 17-23)

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας, καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἄκουσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ ὅτι δύναμις παρ’ αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνη τῇ ἥμερα καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Δόξα: Ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις...

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου πρεσβείαις...

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Στίχος. Ἐλέησον μέ...

Μὴ παρίδῃς Ὅσιε, τῶν οἰκιστῶν σου δεήσεις, ἀλλὰ βλέψον κύκλωθεν, τὴν ἡμῶν ἀσθένειαν συμπαθέστατε, τὴν πληθὺν ἴασαι, δαιμονώντων ἅμα, παραλύτων ἀνιάτως τε, πασχόντων ἔνδοξε, καὶ φρενῶν ἐκ βλάβης καὶ θλίψεων, τὸ ἄλγος νῦν θεράπευσον, τῆς ψυχῆς ἡμῶν τὸ ὀλέθριον, ἵνα κατὰ χρέος, Ἀνδρέα σὲ γεραίρομεν ἀεί, καὶ τὰ σὰ θαύματα πάντοτε, πᾶσι διηγούμεθα.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σὲ ἐθαύμασαν πᾶσαι, τῶν Ἀγγέλων αἱ τάξεις Ἀνδρέα πάνσοφε, πῶς ὤν ἐν τῇ σαρκί σου, τὰς φάλαγγας δαιμόνων διαλύων ἐκραύγαζες· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἰ.

Ὢ τοῦ θαύματος πάτερ' ὡς παλάτιον τόδε ἡγήσω σπήλαιον, τὴν πέτραν ὡς παστάδα, τὰ ῥάκη ὡς πορφύραν, καὶ γηθόμενος ἐψαλλες· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἰ.

Ζάλης πάσης καὶ πλάνης, διαβόλῳ παμμάκαρ καὶ ἐξ αἱρέσεων ἀνθρώπων ψευδολόγων, ἡμᾶς ῥῦσαι Ἀνδρέα, τῷ Χριστῷ ἵνα ψαλλωμεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἰ.

Ἐν ὁδῷ, ἐν θαλάσσῃ, ἐν ἀέρι, ἐν πόλη ἡ ἐν ἐρήμῳ τε, τοὺς ὄντας σῷζε πάτερ Ἀνδρέα ἐκ Παρθένου, τῷ τεχθέντι κραυγαζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἰ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἀπὸ κακίας τῆς τῶν ἀνθρώπων Ἀνδρέα, ἀπὸ φθόνου ῥῦσαι μὲ τρισμακαρ, ἵνα σὲ γεραίρω, τὸν μέγαν μου προστάτην.

Προστάτης πάντων, σὺ τῶν πιστῶν ὢ Ἀνδρέα, τῶν ὑμνούντων σε καὶ εὐφημούντων, πέλεις διασῴζων αὐτοὺς ἐκ πάσης βλάβης.

Ὁ ποδηγὸς σύ, καὶ φῶς ὑπάρχον παμμάκαρ, χαλεπῆς ἐν χρόνοις τοῦ λαοῦ σου, στήριξον Ἀνδρέα ἡμᾶς ὀρθοδοξία.

Σεσαρκωμένος ὢν, τῶν ἁπάντων ὁ κτίστης, ἐκ νηδύος σῆς παρθενομήτωρ, πάντας σὲ δοξάζειν διδάσκει εἰς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Τὴν ἔρημον Ἀνδρέα, σοῖς δάκρυσιν τοῖς θείοις, ὡς ἀληθῶς σὺ κατήρδευσας, ὅθεν μὲ μετανοοῦντα, σὺν δάκρυσι σῶσον δέομαι.

Ὁ φύλαξ τῆς Καλάνης, τοῦ Βάλτου τε ἡ δόξα, Χαλκιοπούλων τὸ καύχημα ἔνδοξε, Ἀνδρέα σκέπε τοὺς πίστει, προσκαλουμένους σέ.

Λαὸς Ἀκαρνανίας, σὺν πάσῃ τῇ Ἑλλάδι, τὰ σὰ γεραίρει Ἀνδρέα θαυμάσια, καὶ προσκυνεῖ σοῦ θεόφρον, τὰ θεία λείψανα.

Ὁλόφωτος τρισμακαρ, Τριάδι τῇ ἁγίᾳ, παρεστηκὼς σὺ Ἀνδρέα μνημόνευε, τοὺς δεομένους σοῦ πίστει, ἀχρείους δούλους σοῦ.

Ὑπέρλαμπρε Μαρία, ἡ σκέπη ὀρθοδόξων, τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἡ βασίλισσα, τοὺς Θεοτόκον εἰδότας σὲ σῷζε πάντοτε.

Ἄξιόν ἐστιν... καὶ τὰ ἑπόμενα Μεγαλυνάρια.

Τοῖς Ἀνδρέα μάκαρ τῷ σῷ ναῷ, τῷ ἐν τῷ σπηλαίῳ, ἐρχομένοις καὶ τὴν σεπτήν, μνήμην σου τελοῦσι, πιστοῖς εἰρήνην δίδου, ὑγείαν καὶ τοῖς πᾶσι, πάτερ τὴν ἄφεσιν.

Δεῦτε τὴν εἰκόνα τὴν ἱεράν, θείου τε Ἀνδρέου ἀσπασώμεθα εὐλαβῶς, βρύει τὰς ἰάσεις, παντὶ τῷ δεομένῳ, τοὺς δαίμονας διώκει, σῴζει τοὺς ἅπαντας.

Δεῦτε οἱ ὀχλούμενοι ἐκ παθῶν, φρενῶν τε τῆς βλάβης, καὶ μαγείας τῆς φοβερᾶς, νόσοις ἀνιατοῖς, προσπέσωμεν ἐν πίστει, Ἀνδρέου τοῖς λειψάνοις, λάβωμεν ἴασιν.

Χαίροις μοναζόντων ἡ καλλονή, καὶ τῶν ἀσωμάτων ἰσοστάσιος ἀληθῶς, χαίροις ὀρθοδόξων τὸ στήριγμα καὶ δόξα, Ἀνδρέα θεοφόρε, σῷζε τοὺς δούλους σου.

Χαίροις τῆς Καλάνης ὁ θησαυρός, καὶ Χαλκιοπούλων ὁ προστάτης καὶ βοηθός, καὶ παντὸς τοῦ Βάλτου τὸ καύχημα τὸ μέγα, Ἀνδρέα θεοφόρε, σκέπε τοὺς δούλους σου.

Σοῦ ἐν τῷ θανάτῳ τῇ φοβερά, ὥρα ὥσπερ σέλας, καὶ ὡς ἥλιος φαεινός, λάμψαντος προσώπου, καὶ ὡς πυρσὸς πρὸς ὕψος, φῶς δείξαντος Ἀνδρέαν, πάντες τιμήσωμεν.

Τούς σε ἀγαπῶντας εἰλικρινῶς, ὅσιε Ἀνδρέα, ἐκ πολέμων καὶ τοῦ σεισμοῦ, πλάνης, ἀνομβρίας, λιμοῦ

καὶ τιμωρίας, ἀπάλλαξον εἰρήνην, νέμον τοῖς δούλοις σοῦ.

Σὺν Ἀγγέλοις, Μάρτυσι, Ἀσκηταῖς, ὅσιε Ἀνδρέα, Ἀποστόλοις καὶ Βαπτιστή, σὺν πᾶσι Ἁγίοις, μετὰ τῆς Θεοτόκου, Χριστὸν ἀεὶ δυσώπει, σώσαι τοὺς δούλους σου.

Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Αἴτησις καὶ Ἀπόλυσις, μεθ’ ἣν τὰ ἑξῆς Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάσης ἀπειλῆς τοῦ δυσμενοῦς, πάσης ἁμαρτίας καὶ πλάνης, πάσης αἱρέσεως, λύτρωσαι τοὺς δούλους σου, Ἀνδρέα πάτερ ἡμῶν· τὸν Θεὸν γὰρ ὀργίζοντες, ῥᾳθύμῳ καρδίᾳ, ἔργα μὴ προσφέροντες, τῆς μετανοίας αὐτῷ· ὅθεν δυσωποῦμεν σὲ μάκαρ, τούτων ἐν ἥμερα τῆς δίκης, ἵλεων ἀπέργασαι τοῖς δούλοις σοῦ.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σοῦ καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φυλάξαν μὲ ὑπὸ τὴν σκέπην σου.